πάντες ἐξωρίσθησαν, δίχα μέντοι τῆς μεγάλης Ἀλεξανδρείας τῆς πρὸς Αἴγυπτον.

13 Ὁ δὲ αὐτὸς βασιλεὺς ἐκώλυσεν τὸν ἀγῶνα τῶν Ὀλυμπίων πρὸς τὸ μὴ ἐπιτελεῖσθαι ἐν Ἀντιοχείᾳ ἀπὸ ἰνδικτιῶνος ιδ'. ἀλυτάρχησαν δὲ ἀπὸ Ἀφρανίου ἕως ὀγδόου ἑξηκοστοῦ πεντακοσιοστοῦ, ἀφ' οὗ ἐκωλύθη τὰ Ὀλύμπια, ἀλύταρχοι οζ'.

14 Τῷ δὲ αὐτῷ χρόνῳ, Ἀνατολίου τοῦ Καρίνου ὄντος κόμητος ἀνατολῆς, συνέβη ἐν Ἀντιοχείᾳ ἐμπρησμὸν μέγαν γενέσθαι ὑπὸ θεϊκῆς ὀργῆς· ὅστις ἐμπρησμὸς προεμήνυσε τὴν τοῦ θεοῦ μέλλουσαν ἔσεσθαι ἀγανάκτησιν. ἐκαύθη γὰρ ἀπὸ τοῦ μαρτυρίου τοῦ ἁγίου Στεφάνου ἕως τοῦ πραιτωρίου τοῦ στρατηλάτου. ἐγένοντο δὲ καὶ μετὰ ταῦτα ἐμπρησμοὶ πολλοὶ εἰς διαφόρους γειτονίας τῆς αὐτῆς πόλεως, καὶ ἐκαύθησαν πολλοὶ οἶκοι καὶ ἀπώλοντο πολλαὶ ψυχαί, καὶ οὐδεὶς ἐγίνωσκεν, πόθεν τὸ πῦρ ἀνήπτετο· *ἐκ γὰρ τῶν κεράμων* 〈*τῶν πενταστέγων*〉 *ἀνελάμβανεν*. κατὰ πρεσβείαν Εὐφρασίου τοῦ πατριάρχου Ἀντιοχείας ἐφιλοτιμήσατο ὁ αὐτὸς βασιλεὺς διὰ τοὺς καυθέντας τόπους χρυσοῦ κεντηνάρια δύο.

15 Ἐν δὲ τῷ αὐτῷ χρόνῳ συνέβη παθεῖν ὑπὸ θεομηνίας τὸ λεγόμενον Δορράχιον, πόλιν τῆς *νέας* Ἠπείρου ἐπαρχίας, ἐξ ἧς ὑπῆρχεν Ἀναστάσιος ὁ βασιλεύς· ὅστις καὶ πολλὰ ἔκτισεν ἐκεῖ, | παρεσχηκὼς αὐτοῖς καὶ τὸ ἱπποδρόμιον. ὁ δὲ βασιλεὺς Ἰουστῖνος πολλὰ παρέσχεν εἰς ἀνανέωσιν τῇ αὐτῇ Δορραχηνῶν πόλει, ἥτις πρῴην μὲν ἐλέγετο Ἐπίδαμνος· ὁμοίως δὲ καὶ τοῖς περιλειφθεῖσιν ἐφιλοτιμήσατο. ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ ἡ Κόρινθος *μητρόπολις* τῆς Ἑλλάδος ἔπαθεν· καὶ πολλὰ κἀκεῖ ἐχαρίσατο ὁ αὐτὸς βασιλεύς. ἐν δὲ τῷ μεταξὺ χρόνῳ ἔπαθεν ὑπὸ θεομηνίας Ἀνάζαρβος, μητρόπολις τῆς *δευτέρας* Κιλικίας τὸ τέταρτον αὐτῆς πάθος· ἀνήγειρεν δὲ αὐτὴν ὁ αὐτὸς βασιλεύς. ἐν αὐτῷ δὲ τῷ χρόνῳ κατεπόθη ὑπὸ θεομηνίας ὑδάτων ποταμιαίων Ἔδεσα, πόλις μεγάλη τῆς Ὀσδροηνῆς ἐπαρχίας, *μητρόπολις*, ἐν ἑσπέρᾳ, τοῦ αὐτοῦ ποταμοῦ κατὰ μέσον τῆς πόλεως παρερχομένου *καὶ παρεχομένου αὐτῇ πλοῦτον πολὺν καὶ τέρψιν* τοῦ λεγομένου Σκίρτου, *τὸ τηνικαῦτα δὲ πλημμυρήσαντος δίκην θαλάσσης τοὺς οἴκους σὺν τοῖς οἰκοῦσι σύροντος ποντίζοντος, ὅτε οἱ ἐνοικοῦντες ἐβόων ἐλεηθῆναι καὶ περισωθῆναι ἀδύνατοι ὄντες ἑαυτοῖς βοηθῆσαι* αὔτανδροι σὺν τοῖς οἴκοις ἀπώλοντο. ἔλεγον δὲ οἱ περισωθέντες καὶ οἰκοῦντες τὴν αὐτὴν πόλιν, ὅτι καὶ ἐν ἄλλῳ καιρῷ κατέκλυσεν τὴν αὐτὴν πόλιν ὁ αὐτὸς ποταμός, ἀλλ' οὐχ οὕτως ἀπώλεσεν· 'ἐπεὶ μεμαθήκαμεν, ὅτι καὶ ἐν ἄλλοις χρόνοις ἐγένετο τὸ αὐτὸ σχῆμα'. μετὰ δὲ τὸ παυθῆναι τὴν ὀργὴν *καὶ τὰ ὕδατα*, 〈εἰς〉 τὰ πλησίον {τῶν θεμελίων} τοῦ αὐτοῦ ποταμοῦ οἰκήματα φιλοκαλίας 〈τῶν θεμελίων〉 τυγχάνοντα εὑρέθη πλὰξ λιθίνη μεγάλη, ἐν ᾗ ἐπεγέγραπτο ἐν γλυφῇ ταῦτα· 'Σκίρτος ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα πολίταις.' ἡ δὲ αὐτὴ Ἔδεσα πόλις ἐκτίσθη ὑπὸ Σελεύκου τοῦ Νικάτορος, λαβοῦσα τείχη· ἥντινα ὠνόμασεν ὁ αὐτὸς Σέλευκος ὁ Μακεδὼν Ἀντιόχειαν τὴν μιξοβάρβαρον, καὶ ὅτε ἔπαθεν τὸ πρῶτον αὐτῆς | πάθος, μετεκλήθη Ἔδεσα. πολλὰ δὲ παρέσχεν ὁ αὐτὸς βασιλεὺς ἐν ἑκάστῃ πόλει, ἀνακαινίσας ἐν πολλαῖς εὐπρεπείαις καὶ τοῖς σωθεῖσι πολλὰ χαρισάμενος· τὴν δὲ Ἔδεσαν μετωνόμασεν Ἰουστινούπολιν.

---

**cap. 14** Theoph. 172,1–11 Ioann. Eph. 224,12–18 Cedr. 640,12–17 Ioann. Nic. LXXXX, 24–25 Euagr. 4,5 (155,23–26) Georg. Mon. 626,8–16 Leo Gramm. 123,19–24; 124,7–8 Cram., Anecd. Paris. 2,319,9–13.21–22. 109,30–110,1 Xanth., Hist. eccl., PG 147,224 B–225 A Ioann. Eph. 224,12–18 **cap. 15** Euagr. 4,8 (155,10–23) Theoph. 168,8–11. 171,14–28 Leo Gramm. 124,18–24 Cedr. 638,14–16; 639,20–640,5 Ioann. Nic. C Chron. anonym. Pseudo-Dionys. 842 Xanth., Hist. eccl., PG 147,225 A–B; Cram., Anecd. Paris. 2,319,29–330,2 Zon. 3,149,3–13 Proc., Anecd. 18,41–44. 18,37 Zach. Rhet. 8,4

---

**cap. 13** O Sl **cap. 14** O Sl **cap. 15** O Sl

**48** βασιλεὺς O: Ἰουστῖνος Sl **49** ἀλυτάρχησαν O: ἠλυτ- Chilm. **51** ἀλύταρχοι O: corr. Chilm. **52** τῷ – χρόνῳ O: τούτῳ τῷ ἔτει μηνὶ ὀκτωβρίῳ τῆς δ' ἰνδικτιῶνος Theoph. 172,1 Καρινοῦ O: corr. Chilm. **53** συνέβη – γενέσθαι O: ἐμπυρισμὸς γὰρ μέγας γέγονεν ἀοράτως ἐν τῷ μέσῳ τῆς πόλεως Theoph. 172,2–3 **56** post στρατηλάτου verba *and as far as the bath called Tainâdônbûs and bath of the Syrian nation* add. Ioann. Nic. LXXXX,24 **57** post πόλεως verba ἐπὶ μῆνας ς' habet Ioann. Nic. LXXXX,25 Theoph. 172,7 (cf. Ioann. Eph. 224) **59** ἐκ – ἀνελάμβανεν ex Sl (qui om. τῶν πενταστέγων) Theoph. 172,9 (cf. Ioann. Eph.) addidi post ἀνελάμβανεν verba ὥστε νομίζειν τὸν καίσαρα παρὰ ἐναντιουμένων γενέσθαι add. Sl **60** Εὐφρασίου Sl Theoph. 172,10: Εὐφραιμίου O **62** ἐν – χρόνῳ O: τούτῳ τῷ ἔτει Theoph. 168,8: ἐν τοῖς ἔτεσι τῆς βασιλείας αὐτοῦ Sl **63** Δορράχιον O: Δυρράχιον ci. Chilm. ἐπαρχίας O: τοῦ Ἰλλυρικοῦ Theoph. 168,9: om. Sl



---

**66** Ἐπίδαμνος, quod iam coniecerat Chilm., Euagr. 159,11: Ἐπίδαυρος OSl **68** μητρόπολις ex Sl Theoph. 168,11 addidi **69** ἐν – χρόνῳ O: δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ Sl **70** μητρόπολις Sl Theoph. 171,14 (cf. Euagr. 159,15): πόλις O δευτέρας ex Sl Theoph. 171,14 (cf. Euagr. 159,14) addidi **70–71** ἀνήγειρε – βασιλεύς OSl: ἡγεμονεύοντος αὐτῆς Καλλιοπίου, υἱοῦ Εἰρηναίου, καὶ ἐπτώθη πᾶσα ἡ πόλις, ταύτην δὲ Ἰουστῖνος ἀνήγειρε καὶ Ἰουστινόπολιν ἐκάλεσε Theoph. 171,15–17 **72** ποταμιαίων O: ποταμιείων ci. Chilm. post μεγάλη add. περιβόητος Theoph. 171,19 Ὀσδροΐνης O **73** μητρόπολις ex Sl addidi **74** καὶ παρεχομένου – τέρψιν ex Sl (cf. Theoph. 172,21 Leo Gramm. 124,20) addidi **75–78** τὸ τηνικαῦτα – βοηθῆσαι ex Sl addidi (cf. Theoph. 171,21–23, qui solum primam partem additionis praebet; verba Graeca partis alterius incerta sunt, cum coll. Zon. 3,149,13–16 lac. fort. sit in Sl) **82** καὶ τὰ ὕδατα ex Sl Theoph. 171,25 Leo Gramm. 124,22 addidi εἰς add. Kamb.: κατὰ add. $O^2$ (i. e. Chilm.) **83** τῶν θεμελίων post φιλοκαλίας transtul. Jeffreys **84** post ταῦτα mut. mutandis ἱερογλυφικοῖς γράμμασιν add. Theoph. 171,26 Leo Gramm. 124,23 Σκιρτὸς O: corr. Chilm. **87** μιξοβάρβαρος O: corr. Chilm. **89** ἑκάστῃ O: τῇ αὐτῇ Sl **90–91** Ἰουστίνου πόλιν O: Ἰουστινούπολιν Chilm.